eul_wid: jfg-aa

*Ζήνωνος Ἐπιστολή* · Zeno Letters

# Letter to King Antigonus

*Ἐπιστολή*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἐπιστολή* Epistle

1 Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν.

2 Ἀποδέχομαί σου τὴν φιλομάθειαν καθ’ ὅσον τῆς ἀληθινῆς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ’ οὐχὶ τῆς δημώδους καὶ εἰς διαστροφὴν ἠθῶν ἀντέχῃ παιδείας. ὁ δὲ φιλοσοφίας ὀρωρεγμένος, ἐκκλίνων δὲ τὴν πολυ θρύλητον ἡδονήν, ἥ τινων θηλύνει νέων ψυχάς, φανερός ἐστιν οὐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων ἀλλὰ καὶ προαιρέσει. φύσις δὲ εὐγενὴς μετρίαν ἄσκησιν προσλαβοῦσα, ἔτι δὲ τὸν ἀφθόνως διδάξοντα ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρε τῆς. ἐγὼ δὲ συνέχομαι σώματι ἀσθενεῖ διὰ γῆρας· ἐτῶν γάρ εἰμι ὀγδοήκοντα. διόπερ οὐ δύναμαί σοι συμμῖξαι. ἀποστέλλω δέ σοί τινας τῶν ἐμαυτοῦ συσχολαστῶν, οἳ τοῖς μὲν κατὰ ψυχὴν οὐκ ἀπολείπονται ἐμοῦ, τοῖς δὲ κατὰ σῶμα προτεροῦσιν. οἷς συνὼν οὐδενὸς καθυστερήσεις τῶν πρὸς τὴν τελείαν εὐδαιμονίαν ἀνηκόντων.